ΕΛ. ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
ΤΕ. Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών.
ΕΛ. πῶς; οὔ τί που σῷ φασγάνῳ βίον στερείς;
ΤΕ. οἰκεῖον αὑτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.
ΕΛ. μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;
ΤΕ. τὸν Πηλέως τιν' οἶσθ' Ἀχιλλέα γόνον;
ΕΛ. ναί·
μνηστήρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.
ΤΕ. θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.
ΕΛ. καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν;
ΤΕ. ἄλλου λαβόντος ὅπλ' ἀπηλλάχθη βίου.
ΕΛ. σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;
ΤΕ. ὁθούνεκ' αὐτῷ γ' οὐ ξυνωλόμην ὁμοῦ.
ΕΛ. ἦλθες γάρ, ὦ ξέν', Ἰλίου κλεινὴν πόλιν;
ΤΕ. καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
ΕΛ. ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;
ΤΕ. ὥστ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές.
ΕΛ. ὦ τλῆμον Ἑλένη, διὰ σ' ἀπόλλυνται Φρύγες.
ΤΕ. καὶ πρός γ' Ἀχαιοί· μεγάλα δ' εἴργασται κακά.
ΕΛ. πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;
ΤΕ. ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.
ΕΛ. χρόνον δ' ἐμείνατ' ἄλλον ἐν Τροίᾳ πόσον;
ΤΕ. πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
ΕΛ. ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;
ΤΕ. Μενέλαος αὐτὴν ἦγ' ἐπισπάσας κόμης.
ΕΛ. εἶδες σὺ τὴν δύστηνον; ἢ κλύων λέγεις;
ΤΕ. ὥσπερ σέ γ', οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
ΕΛ. σκοπεῖτε μὴ δόκησιν εἴχετ' ἐκ θεῶν.
ΤΕ. ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.